**ἀνακρεόντεια μέτρα / anacreontia (-ea, -ica) metra**

**1.** Hephaest. 66. 21 sqq. μονοστροφικὰ μὲν (*scil.* τὰ ποιήματα) οὖν εἰσὶν ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου καὶ τὰ Σαπφοῦς καὶ ἔτι τὰ Ἀνακρέοντος.

Hephaest. 68. 17 sqq. κοινὸν δέ (*scil.* τὸ σύστημα) ἐστι κατὰ σχέσιν τὸ δύο [συστήμασιν] ὑποπεπτωκός, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾆσμα· (fr. 3 [PMG 348]. 1 sqq. Page)

γουνοῦμαί σ᾽, ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν᾽ Ἄρτεμι θηρῶν

καὶ τὰ ἑξῆς. κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν. δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφή, ὥστε φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος τοῦ ἐκ τῶν τριῶν κώλων καὶ τῶν πέντε.

Hephaest. 71. 1 sqq. εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοί, ὅταν μεγάλῳ στίχῳ περιττόν τι ἐπιφέρηται … ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς παρὰ Ἀνακρέοντι (fr. 31 [PMG 376] Page)

ἀρθεὶς δηὖτ᾽ ἀπὸ Λευκάδος
πέτρης, εἰς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

Hephaest. 74. 8 sqq. καὶ μάλιστα εἴωθεν ὁ ἀστερίσκος τίθεσθαι, ἐὰν ἑτερόμετρον ᾖ τὸ ᾆσμα τὸ ἑξῆς· ὃ καὶ [μᾶλλον] ἐπὶ τῶν ποιημάτων τῶν μονοστροφικῶν γίνεται Σαπφοῦς τε καὶ Ἀνακρέοντος καὶ Ἀλκαίου.

Anon. Harl. 10. 15 sqq. εἴδη μέτρου δέκα· τροχαικόν, ἰαμβικόν, δακτυλικόν, ἀναπαιστικόν, χοριαμβικόν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, παιωνικόν, ἀντισπαστικὸν καὶ ἀνακρεόντειον.

Schol. vet. in Pind. *praef.* (III, p. 310. 27 sqq. Drachmann) τῶν δὲ ᾠδῶν αἱ μέν εἰσι μονόστροφοι, αἱ δὲ τριαδικαί. καὶ μονόστροφοι μὲν αἱ Σαπφοῖ καὶ Ἀλκαίῳ καὶ Ἀνακρέοντι διὰ τριῶν ἢ τεσσάρων κώλων ὡρισμένην ἔχουσαι τὴν κατάστασιν καὶ ὑπὸ περιγραφῆς διειργόμεναι.

Schol. Byz. in Soph. Oed. *tyr.* 151 (p. 269. 7 sqq. Longo) μονοστροφικὰ δέ ἐστιν, ὡςἩφαιστίων (p. 66. 21 sqq.) φησίν, ὁπόσα ἀπὸ μιᾶς σροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου καὶ τὰ Σαπφοῦς καὶ τὰ Ἀνακρέοντος.

Caes. Bass. GL VI 263. 23 sqq. = fr. *6. 233 sqq. (GRF 141) Mazzarino philicius versus ex duplici pede constat, quem bacchion musici, choriambicon grammatici vocant. habet longam et duas breves et longam, id est trochaeum et iambum … numerus hic frequens est apud lyricos et praecipue apud Alcaeum, Sappho, Anacreonta.

Isid. *etym.* I 39. 7 ab inventoribus metra appellata dicuntur, ut anacreonticum, sapphicum, archilochium. nam anacreontica metra Anacreon conposuit.

Gloss. Bern. CGL III 489a. 1 Goetz anacreontium: genus metri.

Gloss. Vat. CGL III 510a. 4 Goetz anacreonticum: metrum.

– ⏔ – ⏑ ⏑ – ⏑ ⏑ – – ||

**2.** Hephaest. 21. 16 sqq. ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ (*scil.* τῷ δακτυλικῷ τετραμέτρῳ εἰς δισύλλαβον καταληκτικῷ) καὶ ὅλα ᾄσματα συνέθεκεν· (fr. 49 [PMG 394] b Page)

ἁδύμελες χαρίεσσα χελιδοῖ,

καί· (fr. 49 [PMG 394] b Page)

μνᾶται δηῦτε φαλακρὸς Ἄλεξις.

Sacerd. GL VI 502. 6 sqq. dactylicum metrum omnibus et simplicius et antiquius est, quod dividitur in species XVII … tetrametras duas, bucolicam tetrametram vel heroicam, anacreontiam.

Sacerd. GL VI 514. 18 sqq. de metro anacreontio tetrametro dactylico monoschematisto. anacreontium tetrametrum dactylicum a tetrametro bucolico hoc differt, quod illud quidem octo schemata habet et quartum pedem semper dactylum, hoc vero monoschematistum est: nam semper tribus dactylis percutitur et quarto pede spondeo. cuius metri exemplum graecum est: (Anacr. 49 [PMG 394] a Page)

ἁδύμελες χαρίεσσα χελιδοῖ,

latinum exemplum hoc: (Verg. *Aen.* VIII 560)

o mihi praeteritos referat si.

× – ⏑ – ⏑ – – ||

**3.** Hephaest. 16. 16 sqq. καταληκτικὸν δὲ δίμετρον τὸ καλούμενον ἀνακρεόντειον οἷον· (Anacr. 84 [PMG 429] Page)

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

Trich. 369. 8 sqq. καταληκτικὸν δέ (*scil.* δίμετρον ἰαμβικόν), ὡς τό·

ἄνανδρε μῆτερ βάτε·

μιᾷ γὰρ συλλαβῇ λείπεται εἰς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι. ἰστέον δέ, ὅτι τοῦτο τὸ καταληκτικὸν δίμετρον καὶ ἡμίαμβον παρ᾽ ἡμῖν ὀνομάζεται· ἐπίσημον δέ ἐστι καὶ τοῖς παλαιοῖς ἀνακρεόντειον λέγεται, ὡς πολλῷ αὐτῷ κεχρημένου τοῦ Ἀνακρέοντος.

Anon. Vat. 190 ἔστι καὶ δίμετρον (*scil.* ἰαμβικόν) καταληκτικὸν τὸ λεγόμενον καὶ ἡμιαμβεῖον καὶ ἑφθημιμερές, ὅπερ ἔχει πόδας τρεῖς καὶ μίαν συλλαβὴν ἢ μακρὰν ἢ βραχεῖαν· ἀδιάφορος γὰρ ἡ τελευταία συλλαβὴ ἐν παντὶ μέτρῳ καὶ κώλῳ καὶ κόμματι καὶ στίχῳ. τοῦτο δὲ τὸ ἑφθημιμερὲς ἰαμβικὸν λέγεται καὶ ἀνακρεόντειον (ἀνακρεοντεῖον *cod.*) ὡς τό· (Anacr. 84 [PMG 429] Page)

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστθ γάρ, μαχέσθω …

ἐν δὲ τῷ Ἡφαιστίωνι (p. 16. 18 sq.) ἀνα<κρε>όντειον (ἀνα<κρε>οντεῖον *cod.*), τὰ δύο κῶλα ἑφθημιμερῆ.

Schol. in Aesch. *Prom.* 425 (p. 34 Smyth) + τὸ ϛ´ ἰαμβικὸν δίμετρον καταληκτικόν, ὃ καλεῖται ἀνακρεόντειον ἑφθημιμερές.

Schol. in Aristoph. *av.* 407. 1 sqq. (p. 70 Holwerda) Tr καλεῖς δὲ τοῦ κλύειν θέλων] εἴσθεσις περιόδου ἀμοιβαίας κώλων κζ′. ὧν τὸ α′ τὸ β′ καὶ γ′

ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ δʹ τὸ εʹ τὸ ϛʹ καὶ τὸ ηʹ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα διιάμβοις καὶ σπονδείοις καὶ ἐπιτρίτοις. τὸ δὲ ζʹ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον. τὸ θʹ καὶ ιʹ ὅμοια τῷ αʹ. ὁ ιαʹ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς ηʹ ὅμοια τῷ αʹ. τὰ ἑξῆς τούτων δʹ παιωνικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ὁ κδʹ ὅμοιος τῷ ιαʹ. τὸ κεʹ καὶ κϛʹ ὅμοια τῷ αʹ. τὸ δὲ κζʹ, τό· (v. 433)

λόγων ἀνεπτέρωμαι,

δίμετρον (*scil.* ἰαμβικόν) καταληκτικὸν ἤτοι ἑφθημιμερές. καλεῖται δέ, ὡς εἴρηται, τὰ τοιαῦτα ἰαμβικὰ κῶλα ἀνακρεόντεια. ἐπὶ τῷ τέλει παράγραφος. εἰσὶ δὲ καὶ ταῦτα τὰ κῶλα ἀσυνάρτητα κατὰ τὸν εἰρημένον τρόπον. Lh.

Schol. in Aristoph. *av*. 1313a. 3 sq. (p. 195 Holwerda) Tr τὸ β´ ἰαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται ἀνακρεόντειον.

Schol. in Aristoph. *eq*. 441c (p. 114. 7 sqq. Wilson) Tr τὸ πνεῦμ’ ἔλαττον] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ιϛ´ ... τὸ δὲ ἑξκαιδέκατον τό· (v. 456)

χὤπως κολᾷ τὸν ἄνδρα,

δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται ἀνακρεόντειον, ὡς εἴρηται.

Schol. rec. in Aristoph. *nub*. 1085c. 7 sq. (p. 154 Koster) Tr[2] τὸ δὲ ιηʹ δίμετρον (*scil.* ἰαμβικόν) καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται καὶ αὐτὸ ἀνακρεόντειον διὰ τὸ πολλῷ καὶ τούτῳ χρήσασθαι τὸν ποιητήν.

Schol. rec. in Aristoph. *nub*. 1105b (p. 155 Koster) Tr[2] ἐν ἐκθέσει δὲ κῶλα βʹ ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ, ἃ καλεῖται, ὡς εἴρηται, ἀνακρεόντεια.

Schol. rec. in Aristoph. *nub*. 1353b. 4 sq. (p. 184 Koster) Tr[2] τὸ δὲ εʹ· (v. 1390)

αὐτοῦ ‘ποίησα κακκᾶν’

ἑφθημιμερές (*scil.* ἰαμβικόν), ὃ καλεῖται, ὡς εἴρηται, ἀνακρεόντειον.

Schol. in Aristoph. *pac*. 775e ˙. 26 sqq. (p. 122 Holwerda) Tr τὸ κβ´ ἰαμβικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἀνακρεόντειον Lh.

Schol. rec. in Aristoph. *Plut*. 302-308a ˙ (p. 88 Chantry) τὸ δὲ ζ´ (*scil.* ἰαμβικόν) καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται καὶ αὐτὸ ἀνακρεόντειον.

Schol. rec. in Aristoph. *Plut*. 302-308b (p. 89 Chantry) ὁ δὲ ἕβδομος δίμετρος (*scil.* ἰαμβικός) καταληκτικός· ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος· (fr. 84 [PMG 429] Page)

ὁ μὲν θέλων μάχεσθαι
πάρεστι γάρ, μαχέσθω.

Schol. in Aristoph. *ran*. 384 (p. 287a. 40 sqq. Dübner) εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ἰαμβικῶν δέκα· ὧν τὸ πέμπτον καὶ τὸ δέκατον ἑφθημιμερῆ ἀνακρεόντια.

Schol. in Aristoph. *vesp*. 863. 14 sq. (p. 138 Koster) Tr τὸ β´ ἰαμβικὸν δίμετρον καταληκτικὸν ἤτοι Lh ἑφθημιμερές, ὃ καλεῖται, ὡς εἴρηται, ἀνακρεόντειον Lh.

Caes. Bass. GL VI 263. 12 sqq. = fr. *6. 220 sqq. (GRF 140) Mazzarino septima divisio hendecasyllabi (*scil.* phalaecii) talis est: (inc. 45 [FPL 429] Blänsdorf)

vivis ludis habes amas amaris.

nam quattuor syllabis prioribus detractis, quae accidere possunt heroo incipienti cuilibet, relinquitur:

habes amas amaris,

par anacreonteo metro, quod est syllabarum septem. constat ex tribus iambis et semipede: particula est posterior hipponactei versus iambici quadrati, quem dixi a comicis antiquis et latinis et graecis interponi frequentissime sic:

quid maestus incedis Micon? habes, amas, amaris.

Sacerd. GL VI 520. 6 sqq. de dimetro catalectico iambico anacreontio. dimetrum catalecticum anacreontium heptasyllabum <fit> hoc modo: (Anacr. 84 [PMG 429] Page)

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω,
oblivionem sensit.

deest enim una syllaba ut sit dimetrum plenum, ideo catalecticum.

Apthon. GL VI 81. 21 sqq. dimetrum quoque (*scil.* iambicum), quod archilochium vocatur: (Hor. *epod*. 2. 1)

beatus ille qui procul:

id si fuerit brachycatalectum, eupolidion nominatur; sin vero catalecticum, anacreontion; sin autem hypercatalectum, alcaicon dicitur.

Apthon. GL VI 143. 20 sqq. nam ex trimetro iambico archilochio iambicus pede minor, quem etiam decasyllabon vocant, figuratus est ab Alcaeo, unde et alcaicus dicitur, ut:

beatus ille quem potens deus.

item heptasyllabon anacreontium primam habens longam [additam], ut:

nunc sacra ferte ad aras.

Atil. Fortvn. GL VI 293. 6 sqq. ecce et phalaecium metrum partem primam de antispastico metro habet, sequentem de iambico, ut: (Catull. 2. 1)

passer deliciae meae puellae.

nam prima syzygia antispastica est, si vero pars sequens, 'ciae meae puellae', dimetrum iambicum catalecticum habet. eadem pars dicitur comma anacreontion.

Serv. GL IV 458. 10 sq. anacreontium constat dimetro (*scil.* iambico) catalectico, ut est hoc:

dissolve Baccha crines.

Lvpvs 11 (p. 123 Papathomopoulos) undecimum genus (*scil.* carminum Boethii) iambicum anacreontium est quod constat dimetro catalectico, cui secundum versum supposuit ferecratium, quod paulo ante memoravi (9); talemque variationem facit tantummodo semel, ita: (II metr. 4. 1 sq.)

quisquis volet perennem
cautus ponere sedem.

× – ◡ – × – ◡ – ||

**4.** Hephaest. 16. 8 sqq. ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ (*scil.* τῷ ἰαμβικῷ) ἀκατάληκτα μὲν δίμετρα, οἷον τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται· (fr. 83 [PMG 428] Page)

ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ
καὶ μαίνομαι κοὐ μαίνομαι.

Trich. 369. 15 sqq. ἀκατάληκτον δέ (*scil.* δίμετρον ἰαμβικόν), ὡς τό·

ἡ τῶν ἀμίκτων ἐντόκῳ·

ὁλοκλήρους γὰρ ἔχει τὰς δύο διποδίας καὶ οὐδαμῶς καταλήγει. καὶ τοῦτο δὲ ἐπισημειοῦνται οἱ παλαιοὶ καὶ ἀνακρεόντειον ὀνομάζουσιν.

Anon. Vat. 190 ἐν τῷ Πινδάρῳ εὗρον λεγόμενον ἀνακρεόντειον (ἀνακρεοντεῖον *cod.*), τὸ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὡς τό· (Pind. *Ol.* 1. 28)

καί πού τι καὶ βροτῶν φρένας.

Schol. vet. in Pind. *Ol.* 1 (p. 15. 11 sq. Drachmann) τὸ ι´ ἰαμβικὸν δίμετρον ἀνακρεόντειον.

Schol. rec. in Pind. *Ol.* 1 (p. 49. 3 sq. Abel) τὸ ι´ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀνακρεόντειον.

Schol. in Aesch. *Prom.* 159 (p. 14 Smyth) τὸ α′ τὸ β$^{τερον}$ καὶ τὸ γ′ ἰαμβικὰ δίμετρα ἀκατάληκτα, ἃ καλεῖται ἀνακρεόντεια ὡς κατακόρως τούτοις τοῦ ποιητοῦ χρησαμένου.

Schol. in Aesch. *Prom.* 425 (p. 34 Smyth) τὸ ζ′ ὅμοιον δίμετρον (*scil.* ἰαμβικόν) ἀκατάληκτον, ὃ καλεῖται καὶ αὐτὸ ἀνακρεόντειον.

Schol. in Aristoph. *eq.* 441c (p. 114. 7 sqq. Wilson) Tr τὸ πνεῦμ᾽ ἔλαττον: ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ις′. ὧν … τὰ ἑξῆς ιβ′ δίμετρα ἀκατάληκτα ἀνακρεόντεια.

Schol. in Aristoph. *eq.* 756b (p. 179. 9 sqq. Wilson) Tr νῦν δεῖ σε πάντα κάλων] κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι, μεσῳδικὴ δὲ διὰ τὸ ἑξῆς εἰσάγεσθαι ἑτέραν διπλῆν, ἐκ στίχων ε′. ὧν οἱ μὲν γ′ ἀσυνάρτητοι ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου τοῦ καλουμένου ἀνακρεοντείου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ τοῦ καλουμένου ἀρχιλοχείου. καλεῖται δὲ τὰ τοιαῦτα ἀσυνάρτητα εὐριπίδεια. εἰσὶ γὰρ ὅμοια τῷ εὐριπιδείῳ τῷ· (fr. 929 [TGF 661] Nauck$^2$)

ἑῷος ἡνίχ᾽ ἱππότης ἐξέλαμψεν ἀστήρ.

Schol. rec. in Aristoph. *nub.* 1085c. 2 sqq. (p. 154 Koster) Tr$^2$ τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ιη′, ὧν τὸ α′· (Aristoph. *nub.* 1089)

συνηγοροῦσιν ἐκ τίνων

δίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀνακρεόντειον διὰ τὸ πολλῷ αὐτῷ χρήσασθαι τὸν Ἀνακρέοντα.

Schol. in Aristoph. *pac.* 582b α. 14 sqq. (p. 93 Holwerda) Tr τὸ ι´ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἀνακρεόντειον Lh.

Schol. rec. in Aristoph. *Plut.* 253b. 5 (p. 72 Chantry) τὸ δὲ δίμετρον (*scil.* ἰαμβικόν) ἀνακρεόντειον, οἷόν ἐστι τό· (Anacr. 83 [PMG 428]. 2 Page)

καὶ μαίνομαι κοὐ μαίνομαι.

Schol. rec. in Aristoph. *Plut.* 302-308a α (p. 88 Chantry) τὸ γ´ δίμετρον (*scil.* ἰαμβικόν) ἀκατάληκτον, ὃ καλεῖται ἀνακρεόντειον.

Schol. vet. in Aristoph. *ran.* 971-999 (p. 123 Chantry) Rs <δί>μετρον (*scil.* ἰαμβικόν) ἀκατάληκτον, τὸ καὶ ἀνακρεόντειον. κῶλα κα´.

Schol. in Aristoph. *vesp*. 863. 16 sq. (p. 138 Koster) Tr τὸ γ´ καὶ δ´ καὶ ε´ ἰαμβικὰ Lh δίμετρα ἀκατάληκτα· καλεῖται δὲ καὶ ταῦτα ἀνακρεόντεια, ὡς εἴρηται Lh.

Schol. B in Hephaest. 285. 3 sqq. ἀνακρεόντειον οἱ μὲν ἀρχαῖοι τὸ δίμετρον ἰαμβικόν φασι τὸ καὶ ἀκατάληκτον, ὅπερ καὶ ὀκτασύλλαβόν ἐστιν, ἐπιδεχόμενον κατὰ μὲν τὴν πρώτην καὶ τρίτην χώραν ἴαμβον καὶ σπονδεῖον ὡς ἔθος, κατὰ δὲ τὴν δευτέραν ἴαμβον μόνον, κατὰ δὲ τὴν τετάρτην ἴαμβον ἢ πυρρίχιον διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς.

× – ◡ – × – ◡ – × – ◡ – ||

**5.** Hephaest. 16. 8 sqq. ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ (*scil.* τῷ ἰαμβικῷ) ἀκατάληκτα μὲν δίμετρα, οἷον τὰ ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται ... τρίμετρα δέ· (Anacr. 80 [PMG 425]. 1 Page)

ἔστε ξένοισι μειλίχοις ἐοικότες.

Prisc. GL III 427. 20 sqq. Anacreon teste Heliodoro: (fr. 95 [PMG 440] Page)

ὁρᾶν ἀεὶ λίην πολλοῖσι γὰρ μέλεις.

hic iambus quartum spondeum habet.

× – ◡ – – – – ◡ – ◡ – ◡ – – ||

**6.** Serv. GL IV 458. 25 sqq. anacreontium constat trimetro (scil. iambico) hypercatalecto, ut est hoc:

amor puellae pectus improbe fatigat

(*sed. cf. Morelli 2001, p. 153*).

× – ◡ – × – ◡ – × – ◡ – × – ◡ – ||

**7.** Serv. GL IV 459. 2 sq. anacreontium constat tetrametro (*scil*. iambico) acatalecto, ut est hoc:

hic finis est, iambe, salve, vindicis doctor meli.

– ◡ – × – ◡ – – ||

**8.** Sacerd. GL VI 529. 3 sqq. de anacreontio trochaico dimetro acatalecto. trochaicum anacreontium dimetrum acatalectum est quod constat trochaeis quattuor, qui iuncti faciunt dimetrum acatalectum, ut:

aura veris et favoni.

Sacerd. GL VI 530. 22 sq. hoc tamen notemus, quod una sola species in trochaico metro acatalecta reperitur, dimetra anacreontia, de qua prima specie supra tractavi.

– ◡ – × – ◡ – × – ◡ – × – ◡ – – ||

**9.** Hephaest. 19. 18 sqq. καὶ τῶν ἀκαταλήκτων δὲ (*scil.* τῶν τροχαικῶν) τὸ τετράμετρόν ἐστιν ἔνδοξον, οἷον τουτὶ τὸ Ἀνακρέοντος· (fr. 73 [PMG 418] Page)

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα.

Trich. 373. 25 sqq. τετράμετρα δὲ καταληκτικὰ τροχαϊκά, ἃ καὶ ἐπιση-

μότατα ἔφαμεν εἶναι, τὰ προεκτεθέντα τροχαϊκά. καὶ ἡμεῖς μὲν μέχρι τούτων ἔστημεν· εἰσὶ δέ, ὡς ἔφαμεν, καὶ ἀκατάληκτα τετράμετρα τὰ συλλαβῇ μιᾷ τῶν προκειμένων περιττεύοντα. ταῦτα δὲ καὶ Ἀνακρέων ἐπιτηδεύει, ἐπίσημα καὶ αὐτὰ ὄντα.

Serv. GL IV 460. 7 sqq. anacreontium constat tetrametro (*scil.* trochaico) acatalecto, ut est hoc:

parce iam Camena vati, parce iam sacro furori.

⏑ ⏑ – ⏑ – ⏑ – – ||

**10.** Anon. Ox. 404. 14 sqq. [...]λεν· [⏑] ⏑ – [⏑] – ⏑ – ⏓ [ἀνα]κρεόντειόν ἐστ[ι μέ]τρον τὸ τοιοῦτο· (Anacr. 51 [PMG 396]. 1 Page)

[φέρ'] ὕδωρ, φέρ' οἶνον, ὦ [παῖ·]

[πολ]λοὶ δὲ παριωνικὸν [αὐτ]ὸ καλοῦσιν, ἐπεὶ τοῦ [τῶ]ν ἰωνικῶν γένους [ἅπ] τεσθαι δοκεῖ, καὶ μᾶλ[λον] ἡνίκ' ἂν ἔχῃ τὸν ἀ[νά]παιστον [π]ρῶτον [κα]ὶ τὸν τρ[οχ]αῖον ἑξῆς [παρ]απλησίως ἐκείνοις [τοῖ]ς μέρεσι τῶν ἰωνι[κῶν] τοῖς τοιο[ύ]τοις· (cf. [Hom.] *Od.* XX 75)

[Δία τὸ]ν τερπικ[έραυ]ν[ο]ν.

Anon. Ox. 405. 2 sqq. εἴ τις τῆς πρώτης διποδίας πάντα τὰ σχήματα πρίσ[αι] καὶ [κ]αταλίποι μόνον αὐτῆς βραχεῖαν καὶ τὰ λοιπὰ τοῦ στίχου, τελειώσει τοῦτο τὸ δίμετρον· ἴδε γοῦν ἔστω τάδε [φ]αλαίκε[ια]·

ἡ Λῆμνος τὸ παλαιὸν εἴ τ[ις] ἄλλη
[εὐξά]μην τάδε το[ῖ]ς θεοῖς ἅπασι·
πτέρα δ' ἄγνα παρ' Ἔρωτος Ἀφρόδειτα·

τούτων γ[ὰ]ρ ὄντων φαλαικείων ἀποκοπτέσθω[σ]αν αἱ πρῶται συλλαβαὶ καὶ γενήσεται τὸ ἀνακρεόντειον οὕτως·

τ[ὸ παλ]αιὸν ε[ἴ] τις ἄλλη.

Anon. Ox. 405. 15 sqq. ]νως δὲ καὶ παραπλησίως καὶ τοῦ πραξιλλείου στίχου τεμών τις δύο τὰς πρώτας συλλαβὰς ποιήσει τὸ ἀνακρεόντειον· καθόλου δὲ κἀπὶ τούτου πάσας ἀφελών τις τὰς ἐκ τῆς πρώτης χώρας παρὰ μίαν βραχεῖαν ἀποτελέσει τὸ μέτρον ὁμοίως· σκόπει γοῦν τάδε καταλελοιπότα τὰς πρώτας συλλαβάς· (cf. Sapph. 154. 1 Voigt)

μὲν ἐφαίνεθ' ἁ σελάνα·

(inc. auct. 18. 1 sq. Voigt)

ὀνίαν τε καὶ ὑγείαν·
σα φύγοιμι παῖδες ἥβα·

δύναται δέ τις νομίζειν ἀπὸ ἰαμβικῶν διμέτρων καταληκτικῶν γείνεσθα[ι τ]όδε καὶ [.]πεστ[ι]ν.

Anon. Ox. 406. 2 sqq. ν[είτης·] (Anacr. 84 [PMG 429]. 1 Page)

ὁ μ[ὲν θ]έλων μάχεσθαι·

κ[αὶ δεχ]ομένων ἀνάπ[αισ]τον κατ' ἀρχὴν ἔσται τὸ σχῆμα τοιοῦτον· (Callim. *epigr*. 37. 1 sq.)

ὁ δ[ὲ Λ]ύκτιος Μενείτης·
ὅ [γε] μὲν θέλων μάχεσ[θαι·]

ἀνάπαιστον γὰρ ἔχοντα π[ρῶτ]ον ταῦτα συ[ν]εμπείπτει τοῖς ἀνακρεοντ[είοι]

ς· σπονδεῖον δὲ [ἤγου]ν ἴαμβον κατὰ πρώ[την χ]ώραν λαβόντα πα[......]ν ἀφίσταται τού[των ......] ν[....] ἀνά[παιστο]ς τοῦ τιθέντ[ος .....] ἐπὶ τὸ πλεῖον [....] ως οὕτω τὸ μέ[τρον] πρό[κ]ειται.

App. Dion. 316. 21 sqq. τὰ ἀνακρεόντεια· ἐπιδέχονται αὐτῶν οἱ οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ μίαν περιττὴν συλλαβήν, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον.

τὸ δὲ τούτων κουκούλλιον γίνεται ἐξ ἐλάσσονος καὶ μείζονος, τουτέστιν ἀπὸ πυρριχίου καὶ σπονδείου, οἷον· (PLG III, p. 337 s. Bergk[4])

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας,
ἁγίων περσιδάμου κόσμον ἀεὶ ὤν.

ἑτέρως περὶ τῶν ἀνακρεντείων. ἡ πρώτη χώρα δέχεται ἀνάπαιστον, ἡ δευτέρα ἴαμβον, ἡ τρίτη ἴαμβον, ἡ τετάρτη ἀδιάφορον· οἷον· (Sophron. *Anacr.* 5. 1 [PG LXXXVII 3, col. 3756] Migne)

ἀπὸ τῆς φίλης ἐρήμου.

καὶ τὸ κουκούλλιον αὐτοῦ, ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα πυρρίχιον, ἡ δευτέρα δὲ καὶ τετάρτη καὶ ἕκτη σπονδεῖον, οἷον· (Sophron. *Anacr.* 5. 17 [PG LXXXVII 3, col. 3756] Migne)

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

ἑτέρα μέθοδος τοῖς ἀνακρέουσιν ἀεὶ συναπτομένη· ὅπερ μέτρον ἀνακλώμενον καλεῖται. ὁ τοῖς ἀνακρέουσιν ἀεὶ συνταττόμενος [καὶ] ἀνακλώμενος, ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδὸς τὴν σύστασιν ἔχει. τομὴ δὲ αὐτοῦ ἑφθημιμερής. οὗτος γοῦν ἰωνικῶς ἀπ᾽ ἐλάσσονος λέγεται τριποδιζόμενος, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς ἔργα φέρει ἔμπονος ἥβη.

στίχος ἕτερος· καὶ οὗτος ὁ στίχος ἔσθ᾽ ὅτε καὶ ἀπὸ χοριάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος, καὶ ἐν τῇ συμπληρώσει τὸν παίωνα τρίτον δεχόμενος, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ, οἷον· (PLG III, p. 337 Bergk[4])

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

ἐνταῦθα γὰρ ἡ μὲν πρώτη χώρα ἔχει χορίαμβον, ἡ δὲ δευτέρα ἰωνικὸν ἀπ᾽ ἐλάσσονος καὶ ἡ τρίτη τὸν τρίτον παίωνα, ἐπειδὴ καὶ τρεῖς χώρας ἔχει τετρασυλλάβους ἐὰν δὲ δισυλλάβους, <ἕξ· δέχεται δὲ δισυλλάβους> ἐν μὲν τῇ πρώτῃ χώρᾳ τροχαῖον, <ἐν δὲ τῇ δευτέρᾳ ἴαμβον, ἐν δὲ τῇ τρίτῃ πυρρίχιον, ἐν δὲ τῇ τετάρτῃ σπονδεῖον, ἐν δὲ πέμπτῃ πάλιν πυρρίχιον, ἐν δὲ τῇ ἕκτῃ πάλιν τροχαῖον>.

App. rhet. 343. 6 sqq. τῶν ἀνακρεοντείων ἐπιδέχονται οἱ οἶκοι μὲν ἀνάπαιστον καὶ δύο ἰάμβου καὶ μίαν περιττὴν συλλαβήν, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον.

τὸ δὲ τούτων κουκούλλιον τοὺς ἀπὸ ἐλάττονος καὶ μείζονος, εἴτουν πυρρίχιον καὶ σπονδεῖον, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας.

ἔστιν ὁ στίχος τοῦ Ἀνακρέοντος οὗτος· ἡ πρώτη χώρα ἐξ ἀναπαίστου, ἡ δευτέρα καὶ τρίτη ἐξ ἰάμβου, ἡ τετάρτη μονοσύλλαβος καὶ ἀδιάφορος· (Sophron. *Anacr.* 5. 1 [PG LXXXVII 3, col. 3756] Migne)

ἀπὸ τῆς φίλης ἐρήμου.

τοῦ δὲ κουκουλλίου ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα ἐκ πυρριχίου, ἡ δευτέρα καὶ τετάρτη ἐκ σπονδείου, ἡ ἕκτη ἐκ σπονδείου ἢ τροχαίου, οἷον· (Sophron. *Anacr.* 5. 17 [PG LXXXVII 3, col. 3756] Migne)

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

Anon. Harl. 26. 24 sqq. τὸ ἀνακρεόντειον ἔστι μὲν δίμετρον, ἐπιδέχεται δὲ ἐν τοῖς οἴκοις αὐτοῦ ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ μίαν περιττὴν συλλαβήν. οἱ δ᾽ ὡς τριμέτρῳ χρησάμενοι ἐν μὲν τῇ πρώτῃ τιθέασι τροχαῖον, ἐν δὲ τῇ δευτέρᾳ ἴαμβον, ἐν δὲ τῇ τρίτῃ καὶ τῇ πέμπτῃ πυρρίχιον, ἐν δὲ τῇ τετάρτῃ σπονδεῖον, ἐν δὲ τῇ ἕκτῃ ἀδιαφόρως δίμετρον ἐν τῇ ἀρχῇ συλλαβῇ περιττεῦον· (Pind. *Ol.* 1. 28)

καί πού τι καὶ βροτῶν φάτις.

δίμετρον καταληκτικόν· (Pind. *Ol.* 13. 6)

-τα τε βάθρον πολίων.

δίμετρον συλλαβῇ περιττεῦον ἐν τῷ τέλει· (PLG III, p. 338 Bergk[4])

ὁ νόος θέλει γεραίρειν.

ὅμοιον· (PLG III, p. 338 Bergk[4])

ὁ λόγος θέλει καθυμνεῖν.

Anon. Vat. 190 γίνεται ἀνακρεόντειον (ἀνακρεοντεῖον *cod.*) καὶ ἐξ ἀναπαίστου καὶ δύο ἰάμβων καὶ συλλαβῆς, ὡς εἶναι τὸ πᾶν ἑφθημιμερές, τό·

ἐπὶ γῆς ἔτ᾽ ἐνδίαν,
ποθέων πόλον ποτ᾽ ἦσθα.

Schol. B in Hephaest. 285. 10 sqq. οἱ δὲ νεώτεροι διαιροῦσιν αὐτὸ (*scil.* τὸ ἀνακρεόντειον) εἴς τε κῶλα ἓξ καὶ εἰς δύο· καὶ τὰ μὲν ἓξ κῶλά φασιν οἴκους, τὰ δὲ δύο κουκούλια. καὶ ἐπιδέχονται οἱ μὲν οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ περιττὴν συλλαβήν, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον

καί· (Sophron. *Anacr.* 5. 1 [PG LXXXVII 3, col. 3756] Migne)

ἀπὸ τῆς φίλης ἐρήμου.

τὸ δὲ τούτων κουκούλιον σύγκειται ἔκ τε τοῦ ἐλάσσονος τῶν δισυλλάβων ποδῶν, τουτέστι τοῦ πυρρίχιου, καὶ ἐκ τοῦ μείζονος ἤτοι τοῦ σπονδείου, καὶ ἔχει ἐν μὲν ταῖς περιτταῖς χώραις τὸν ἐλάσσονα, ἐν δὲ ταῖς ἀρτίαις τὸν μείζονα, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας,
ἁγίων περσιδάμου κόσμου ἀίων

καί· (Sophron. *Anacr.* 5. 17 [PG LXXXVII 3, col. 3756] Migne)

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

τινὲς δὲ συντάττουσιν αὐτοῖς καὶ ἕτερον, ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδῶν τὴν σύστασιν ἔχοντα, ἤγουν ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος, τρίμετρον ἀκατάληκτον, ὃ καὶ ἀνακλώμενόν φασι, ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ, τουτέστι μετὰ τὰς τρεῖς συλλαβὰς τοῦ δευτέρου ποδὸς περαινομένην [τὴν τομὴν] εἰς μέρος λόγου, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς ἔργα φέρει ἔμπονος ἥβη.

ἔστι δ᾽ ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος· εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ᾽ ἐλάσσονος καὶ τελευταῖον παιῶνα τρίτον ἢ πάλιν ἰωνικὸν ἀπ᾽ ἐλάσσονος

διὰ τὸ ἀδιάφορον τῆς τελευταίας, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ, οἷον· (PLG III, p. 337 Bergk[4])

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων. εἰ δὲ βούλει, ἐκ δισυλλάβων ἕξ, ἐν μὲν τῇ πρώτῃ χώρᾳ τροχαίου, ἐν δὲ τῇ δευτέρᾳ ἰάμβου, ἐν δὲ τῇ τρίτῃ πυρριχίου, ἐν δὲ τῇ τετάρτῃ σπονδείου, ἐν δὲ τῇ πέμπτῃ πάλιν πυρριχίου, ἐν δὲ τῇ ἕκτῃ τροχαίου ἢ σπονδείου διὰ τὸ ἀδιάφορον.

Caes. Bass. GL VI 261. 20 sqq. = fr. *6. 173 sqq. (GRF 139) Mazzarino sexta divisio (*scil.* hendecasyllabi phalaecii) est hoc exemplo: (Catull. 1. 1)

cui dono lepidum novum libellum.

pars enim prior est 'cui dono', quae accidit heroo metro sic:

cui dono titulum Troiae qui primus ab oris.

reliqua pars hendecasyllabi:

lepidum novum libellum,

anacreonteon facit metron octo syllabarum iambicum ab anapaesto incipiens, quale est illud apud Laevium: (fr. 28 [FPL 139] Blänsdorf)

mea Vatiena amabo.

Caes. Bass. GL VI 262. 19 sqq. = fr. *6. 197 sqq. (GRF 139) Mazzarino Catullus in anacreonteo: < … > (Maec. 5. 1 [FPL 247] Blänsdorf)

ades inquit o Cybebe.

hic versus habet primum pedem anapaestum, secundum saepe iambum, non numquam tribrachum, tertium iambum, semipedem accipit medium, quia ex duobus commatibus constat; sequens comma accipit pariambum, trochaeum, brachysyllabum, semipede cluditur.

Qvint. inst. IX 4. 77 sq. non minore autem cura vitandum est quidquid est ἔνρυθμον … quamvis enim vincta sit, tamen soluta videri debet oratio. atqui Plato, diligentissimus compositionis, in Timaeo prima statim parte (p. 17a) vitare ista non potuit. nam et initium hexametri statim invenias (εἷς, δύο, τρεῖς), et anacreontion protinus colon efficies (ὁ δὲ δὴ τέταρτος ἡμῖν).

Ter. Mavr. GL VI 409. 2845 sqq.

idcirco genus hoc phalaeciorum
vir doctissimus undecumque Varro
ad legem redigens ionicorum
hinc natos ait esse, sed minores.
nunc divisio, quam loquemur, edet
metrum quo memorant Anacreonta
dulces composuisse cantilenas.
hoc Petronius invenitur usus,
Musis cum lyricum refert eundem
consonantia verba cantitasse,
et plures alii. sed iste versus
quali compositus tome sit edam:
'iuverunt segetes meum laborem'.

'iuverunt', caput est <id> hexametri:
si cures reliquos pedes referre:
'iuverunt animum versus ex carmine Flacci'.
quod restat, 'segetes meum laborem',
tale est, ceu: (Petron. fr. XX, p. 181 Müller) triplici vides ut ortu
Triviae rotetur ignis
volucrique Phoebus axe
rapidum pererret orbem'.
non nulli metron hoc magis putarunt
quod sit postera pars ionicorum,
quos dicunt ἀπὸ μείζονος vocandos;
ut versus reparetur inde plenus:
'segetes meum laborem,
o quam relevarunt segetes meum laborem',
'Triviae rotetur ignis,
cernis quotiens hic Triviae rotetur ignis';
nec pars haec anapaeston atque iambos
nec non et catalecticam supremam,
sed sumat pariambon et trochaeos,
'segetes meum laborem',
quod metron soleant pedes iones,
nunc longas brevibus brevesque contra
alterna vice commodando longis,
versum claudere saepe ditrochaeis.
nec mirum puto, quando Varro versus
hos, ut diximus, ex ione natos
distinguat numero pedum minores.

Apthon. GL VI 153. 26 sqq. sextae autem divisionis hendecasyllabus (*scil.* phalaecius) erit talis: (Ter. Maur. GL VI 409. 2857)

iuverunt segetes meum laborem.

quali tome sit iste compositus explicabo. nam 'iuverunt' caput est incipientis hexametri; adiectis enim reliquis pedibus versus complebitur ita:

iuverunt mentem versus ex carmine dulci.

at id quod versui superest, 'segetes meum laborem', metrum erit anacreontion, siquidem <Anacreon> eo frequentissime usus sit, sed et apud nos plerique, inter quos Arbiter satyricon ita: (fr. XX, p. 181 Müller)

triplici vides ut ortu
Triviae rotetur ignis
volucrique Phoebus axe
rapidum pererret orbem.

quod constat, sicut plerique adserunt, ex ionico quem ἀπὸ μείζονος vocant. nam si versui, quem supra posui, 'segetes meum laborem', pro prima parte eius, quam detraxi, 'iuverunt', apponam clausulam huius modi, 'o quam relevarunt',

fiet versus ionicus ἀπὸ μείζονος ita:

o quam relevarunt segetes meum laborem,

qui constat ex basi ionica et trochaeis tribus. similiter et quem supra posui:

Triviae rotetur orbis,

siquid adiciat 'cernis quotiens hic', dabit integrum ionicum huius modi:

cernis quotiens hic Triviae rotetur orbis.

quod colon pyrrichium et trochaeos tantum tres recipit, velut:

volucrique Phoebus axe
rapidum pererret orbem,

item:

segetes meum laborem.

Diom. GL I 510. 18 sqq. <anacreontium> dimetrum ex archilochio huius modi est:

capiunt feras et aptant.

hoc tale est quale illud: (Hor. *carm*. I 4. 1)

vice veris et Favoni.

Mall. Theod. GL VI 593. 24 sqq. metrum iambicum tetrametrum colobon, quod anacreonticum dicitur, recipit supra dictos pedes omnes, et pro quarto pede una tantum syllaba ponitur. quod maxime fit sonorum, si primus pes anapaestus ponatur, post duo iambi, deinde syllaba. huius exemplum: (Petron. fr. XX, p. 181 Müller)

Triviae rotetur ignis,
volucrique Phoebus axi
rutilum pererret orbem.

Beda 136. 2 sqq. de metro anacreontio. metrum iambicum tetrametrum colophon, quod anacreontium dicitur, recipit anapestum, duos iambos et semipedem. quo usus est Prosper Tiro in principio exhortationis ad coniugem, ita dicens: (vv. 1 sqq. [PL LI, col. 611 Migne])

age iam precor mearum
comes inremota rerum,
trepidam brevemque vitam
domino deo dicemus.
celeri vides rotatu
rapidos dies meare
fragilisque membra mundi
minui perire labi.
fugit omne quod tenemus
neque fluxa habent recursum,
cupidasque vana mentes
specie trahunt inani.
ubi nunc imago rerum est?
ubi sunt opes potentum,
quibus occupare captas
animas fuit voluptas?

⏑ ⏑ – ⏓ ⏒ ⏑ – – ||

**11.** Hephaest. 39. 15 sqq. τὸ δὲ <δίμετρον (*scil.* ἰωνικὸν ἀπ᾽ ἐλάσσονος) τὸ> ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι· (fr. 55 [PMG 400] Page)

παρὰ δηῦτε Πυθόμανδρον
κατέδυν ἔρωτα φεύγων·

Trich. 394. 29 sqq. δίμετρον <δὲ> (*scil.* ἰωνικὸν ἀπ᾽ ἐλάσσονος) ἀκατάληκτον·

ἀπάγοις ἐκ κακότητος.

τοῦτο δὲ ἐπισημότατον γίνεται, ὅταν συμμίγνυται τῇ τροχαικῇ διποδίᾳ, καὶ πρὸ αὐτῆς, ὡς εἴπομεν, τὸν τρίτον παίωνα δέχεται, οἷά εἰσι τὰ προκείμενα τρία ἔπη τὰ μετὰ τοὺς τρεῖς καθαροὺς ἰωνικούς. τὸ δ᾽ αὐτὸ καὶ ἀνακρεόντειον ὀνομάζεται, ὡς αὐτῷ κατακόρως χρησαμένου τοῦ Ἀνακρέοντος.

Serv. GL IV 464. 17 sq. anacreontium constat dimetro (*scil.* ionico a minore) acatalecto, ut est hoc:

sapientes Amor odit.

[Censorin. ] GL VI 615. 3 sqq. anacreontius:

miseri invidi [vivimus] scientes.

recipit pyrrichium, chorium, spondium, brachysyllabum, anapaestum. primus est semper pyrrichius.

⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ||

**12.** Hephaest. 39. 7 sqq. τῶν δὲ τριμέτρων (*scil.* ἰωνικῶν ἀπ᾽ ἐλάσσονος) τὸ μὲν ἀκατάληκτον·

† ζαελεξάμαν ὄναρ Κυπρογενήᾳ

παρὰ τῇ Σαπφοῖ (fr. 134 Voigt), παρὰ δὲ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται … τὸ δὲ καταληκτικόν (Anacr. 66 [PMG 411] b Page)

Διονύσου σαῦλαι βασσαρίδες.

Serv. GL IV 464. 19 sq. anacreontium constat trimetro (*scil.* ionico a minore) catalectico, ut est hoc:

fuge virgo, fuge munus Veneris.

⏑ ⏑ – ⏓ ⏒ ⏑ – – ⏑ ⏑ – – ||

**13.** Hephaest. 39. 7 sqq. τῶν δὲ τριμέτρων (*scil.* ἰωνικῶν ἀπ᾽ ἐλάσσονος) τὸ μὲν ἀκατάληκτον·

† ζαελεξάμαν ὄναρ Κυπρογενήᾳ

παρὰ τῇ Σαπφοῖ (fr. 134 Voigt), παρὰ δὲ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται· (fr. 66 [PMG 411] a Page)

ἀπό μοι θανεῖν γένοιτ᾽· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ᾽ οὐδαμὰ τῶνδε.

Trich. 395. 12 sqq. ἀκατάληκτον δέ ἐστι τρίμετρον (*scil.* ἰωνικὸν ἀπ᾽ ἐλάσσονος)·

ἀπάγοις ἐκ κακότητος μογεροῦ νυ.

καὶ τοῦτο τὸ μέτρον πολύ ἐστι παρὰ Ἀνακρέοντι καὶ Σαπφοῖ.

App. Dion. 317. 1 sqq. τὸ δὲ τούτων (*scil.* τῶν ἀνακρεοντείων) κουκούλλιον γίνεται ἐξ ἐλάσσονος καὶ μείζονος, τουτέστιν ἀπὸ πυρριχίου καὶ σπονδείου, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας,
ἁγίων περσιδάμου κόσμον ἀεὶ ὤν.

App. Dion. 317. 9 sqq. καὶ τὸ κουκούλλιον αὐτοῦ (*scil.* τοῦ ἀνακρεοντείου), ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα πυρρίχιον, ἡ δευτέρα δὲ καὶ τετάρτη καὶ ἕκτη σπονδεῖον, οἷον· (Sophron. *Anacr.* 5. 17 [PG LXXXVII 3, col. 3756] Migne)

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

ἑτέρα μέθοδος τοῖς ἀνακρέουσιν ἀεὶ συναπτομένη· ὅπερ μέτρον ἀνακλώμενον καλεῖται. ὁ τοῖς ἀνακρέουσιν ἀεὶ συντασσόμενος [καὶ] ἀνακλώμενος, ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδὸς τὴν σύστασιν ἔχει. τομὴ δὲ αὐτοῦ ἑφθημιμερής. οὗτος γοῦν ἰωνικὸς ἀπ᾽ ἐλάσσονος λέγεται τριποδιζόμενος, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς ἔργα φέρει ἔμπονος ἥβη.

στίχος ἕτερος· καὶ οὗτος ὁ στίχος ἔσθ᾽ ὅτε καὶ ἀπὸ χοριάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος, καὶ ἐν τῇ συμπληρώσει τὸν παίωνα τρίτον δεχόμενος, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέρας δοκεῖ, οἷον· (PLG III, p. 337 Bergk[4])

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

ἐνταῦθα γὰρ ἡ μὲν πρώτη χώρα ἔχει χορίαμβον, ἡ δὲ δευτέρα ἰωνικὸν ἀπ᾽ ἐλάσσονος καὶ η τρίτη τὸν τρίτον παίωνα, ἐπειδὴ καὶ τρεῖς χώρας ἔχει τετρασυλλάβους· ἐὰν δὲ δισυλλάβους <ἕξ· δέχεται δὲ δισυλλάβους> ἐν μὲν τῇ πρώτῃ χώρᾳ τροχαῖον, <ἐν δὲ τῇ δευτέρᾳ ἴαμβον, ἐν δὲ τῇ τρίτῃ πυρρίχιον, ἐν δὲ τῇ τετάρτῃ σπονδεῖον, ἐν δὲ πέμπτῃ πάλιν πυρρίχιον, ἐν δὲ τῇ ἕκτῃ πάλιν τροχαῖον>.

App. rhet. 343. 10 sqq. τὸ δὲ τούτων (*scil.* τῶν ἀνακρεοντείων) κουκούλλιον τοὺς ἀπὸ ἐλάττονος καὶ μείζονος, εἴτουν πυρρίχιον καὶ σπονδεῖον, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας ...

17 sqq. τοῦ δὲ κουκουλλίου ἡ πρώτη καὶ τρίτη καὶ πέμπτη χώρα ἐκ πυρριχίου, ἡ δευτέρα καὶ τετάρτη ἐκ σπονδείου, ἡ ἕκτη ἐκ σπονδείου ἢ τροχαίου, οἷον· (Sophron. *Anacr.* 5. 17 [PG LXXXVII 3, col. 3756] Migne)

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

Schol. B in Hephaest. 285. 26 sqq. τινὲς δὲ συντάττουσιν αὐτοῖς (*scil.* τοῖς ἀνακρεοντείοις) καὶ ἕτερον, ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδῶν τὴν σύστασιν ἔχοντα, ἤγουν ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος, τρίμετρον ἀκατάληκτον, ὃ καὶ ἀνακλώμενόν φασιν, ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ, τουτέστι μετὰ τὰς τρεῖς συλλαβὰς τοῦ δευτέρου ποδὸς περαινομένην [τὴν τομὴν] εἰς μέρος λόγου, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς ἔργα φέρει ἔμπονος ἥβη.

ἔστι δ᾽ ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος· εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ᾽ ἐλάσσονος καὶ τελευταῖον παιῶνα τρίτον ἢ πάλιν ἰωνικὸν ἀπ᾽ ἐλάσσονος διὰ τὸ ἀδιάφορον τῆς τελευταίας, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ, οἷον· (PLG III, p. 337 Bergk[4])

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων. εἰ δὲ βούλει, ἐκ δισυλλάβων ἕξ, ἐν μὲν τῇ πρώτῃ χώρᾳ τροχαίου, ἐν δὲ τῇ δευτέρᾳ ἰάμβου, ἐν δὲ τῇ τρίτῃ πυρριχίου, ἐν δὲ τῇ τετάρτῃ σπονδείου, ἐν δὲ τῇ πέμπτῃ πάλιν πυρριχίου, ἐν δὲ τῇ ἕκτῃ τροχαίου ἢ σπονδείου διὰ τὸ ἀδιάφορον. καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων.

⏑ ⏑ – – – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – – ||

**14.** Hephaest. 39. 3 sqq. καὶ τῷ βραχυκαταλήκτῳ δὲ (*scil.* τῷ ἰωνικῷ ἀπ᾽ ἐλάσσονος τετραμέτρῳ) Ἀνακρέων ὅλα ᾄσματα συνέθηκεν· (fr. 68 [PMG 413] Page)

μεγάλῳ δηὖτέ μ᾽ ἔρως ἔκοψεν ὥστε χαλκεὺς
πελέκει, χειμερίῃ δ᾽ ἔλουσεν ἐν χαράδρῃ.

Trich. 395. 19 sqq. τετράμετρα δέ (*scil.* ἰωνικὰ ἀπ᾽ ἐλάσσονος), βραχυκατάληκτον μὲν οἷον τό·

διάγοις ἀβλαβέα παντοδαπᾶν ἐκ κακῶν.

τούτῳ δὲ τῷ βραχυκαταλήκτῳ τετραμέτρῳ ὁλόκληρα ἐπιτίθησιν ᾄσματα Ἀνακρέων (fr. 68 [PMG 413] Page), τὸν μὲν πρῶτον πόδα ἰωνικὸν τιθεὶς ἀπ᾽ ἐλάσσονος, τὸν δὲ μετ᾽ ἐκεῖνον παίωνα τρίτον, ὅς ἐστιν ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, εἶτα κατὰ τὸ ἔθος τῶν ἐπιμίκτων, ὡς καὶ ἀνωτέρω εἴπομεν, τροχαϊκὴν συζυγίαν, εἶτα σπονδεῖον. τὰ δὲ τοιαῦτα ἐξ ἐπιμιξίας καλοῦσιν ἀνακλώμενα, ἴσως, ὡς ἔνιοί φασι, διὰ τὸ ἀνακλᾶσθαι τὴν κλάσιν τῆς φωνῆς πρὸς ἁπαλότητα. τί μέντοι τὸ κυρίως ἐστὶν ἀνακλώμενον, ἐν τοῖς κατὰ ἀντιπάθειαν μεμιγμένοις ἔπεσιν ἐροῦμεν.

Anon. Harl. 25. 30 sqq. τετράμετρον (*scil.* ἰωνικὸν ἀπ᾽ ἐλάσσονος) βραχυκατάληκτον, Ἀνακρέοντος· (fr. 68 [PMG 413].1 Page)

μεγάλῳ δ᾽ ηὖτέ μ᾽ ἔρως ἔκοψεν ὥστε χαλκεύς.

ὅμοιον· (fr. 68 [PMG 413]. 2 Page)

πελέκει χειμερίῃ δ᾽ ἔλουσεν ἐν χαράδρῃ.

⏑ ⏑ – – – ⏑ ⏑ – – – ⏑ ⏑ – – – ⏑ ⏑ – – ||

**15.** Apthon. GL VI 129. 23 sqq. cuius (*scil.* ionici ἀπὸ ἐλάσσονος) exemplum apud Horatium reperimus, qui in hoc genere carminis Alcaeum secutus est. et Anacreon lyricus et Euripides tragicus et comici poetae reperti sunt hoc <uti> numero, cuius exemplum: (Hor. *carm*. III 12. 1 sqq.)

miserarum est neque amori dare ludum neque dulci
mala vino lavere aut exanimari metuentes
patruae verbera linguae.

× – ⏑ ⏑ – ⏑ – ||

**16.** Schol. in Aristoph. *eq*. 1111b (p. 241. 7 sqq. Jones-Wilson) Tr ὦ Δῆμε καλήν γ᾽ ἔχεις] … δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, τὸ δὲ μέτρον ἰωνικὸν ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστι δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ, οἷς καὶ Ἀνακρέων ἐχρήσατο, τὰ δὲ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα, τὸ τέταρτον καὶ δέκατον ἑκάστης στροφῆς.

– – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – ||

**17.** Apthon. GL VI 108. 27 sqq. verum huius generis (*scil*. metrum), ut supra coeperam dicere, quod ex penthemimere geminato conficitur, species sunt tres: prima, cum praecedit spondeus, sequitur dactylus, item spondeus ultimis anapaestis duobus versum claudentibus; et haec, ut superius, geminata efferri non possunt, ut: (Verg. *Aen*. III 1 et *buc*. 8. 61)

postquam res Asiae desine Maenalios.

huic si novissimam longam detrahas, ut iam non anapaestus, sed iambus vel alius bisyllabus ponatur, metrum asclepiadeum efficiet, quod duodecim syllabis subsistit, ut:

postquam res Asiae desine Maenali,

item:

quam saevis trepident carbasa flatibus:

quod constat ex spondeo, duobus choriambis, ultimo iambo, quod etiam prima adempta syllaba anacreontion dabit sic:

saevis trepidant carbasa flatibus,

seu metrum ionicum claudente dactylo.

– – – ⏑ ⏑ – – ||

**18.** Atil. Fortvn. GL VI 299. 23 sqq. <pherecratius> priapei erit pars, praeposito tamen glyconio sic:

cui flavam religas comam grato, Pyrra, sub antro:

talis hic qualis ille: (Verg. *Aen*. III 77)

immotamque coli dedit et contemnere ventos.

item hos si iungas, idem fiet: (Anacr. 3 [PMG 348]. 1 et 3 Page)

γουνοῦμαί σ᾽ ἐλαφηβόλε δέσποιν᾽ Ἄρτεμι θηρῶν.

utraque haec pars Anacreontis est.

– – – ⏑ ⏑ – ⏑ – ||

**19.** Choerob. 192. 3 sqq. (Anacr. 3 [PMG 348]. 4 Page)

ἥ κου νῦν ἐπὶ Ληθαίου.

τοῦτο Ἀνακρέοντος ἐστὶν ἀντισπαστικὸν μέτρον. ἔστι δὲ τὸ ἀντισπαστικόν, ὅτι ἀπὸ σπονδείου ἄρχεται καὶ τροχαίου, ὡς ἐν τῷ· (Anacr. 3 [PMG 348]. 1 Page)

γουνοῦμαί σ᾽ ἐλαφηβόλε·

ὁ δεύτερος ἐστι ποὺς διίαμβος, τῆς τελευταίας ἀδιαφορούσης.

Trich. 388. 7 sqq. τὸ δὲ ἀντισπαστικὸν μέτρον ὁτὲ μὲν καθαρὸν συντίθεται, ὁτὲ δὲ ἐπίμικτον, ἰάμβους ἐπὶ τέλει δεχόμενον. καὶ μὴν ἀλλὰ καὶ τὸν πρότερον πόδα ἀδιαφόρως ἔχει τρεπόμενον κατὰ τὰ τέσσαρα σχήματα τοῦ δισυλλάβου, τουτέστιν εἰς τὰς δύο συλλαβὰς τοῦ προτέρου ποδός· ὁτὲ μὲν ἴαμβον παραλαμβάνει, ὅθεν καὶ κυρίως ἀντίσπαστος γίνεται, ὁτὲ δὲ σπονδεῖον, ὁτὲ πυρρίχιον, ὁτὲ τροχαῖον. τοῦ μὲν οὖν καθαροῦ ἀντισπαστικοῦ, ὃ μήτε κατ᾽ ἀρχὰς εἴς τινα τῶν ἄλλων δισυλλάβων ἐτράπη, μήτε ἐπὶ τέλει ἰαμβικὴν ἐδέξατο διποδίαν, παράδειγμα οἱ προκείμενοι ἀντισπαστικοὶ στίχοι τρεῖς. περὶ δέ γε τοῦ

κατ᾽ ἀρχὰς εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα τρεπομένου ἀντισπαστικοῦ καὶ ἐπὶ τέλει τὴν ἰαμβικὴν διποδίαν δεχομένου ἰδίᾳ διελάβομεν, καὶ λάμβανε ἐκεῖθεν παραδείγματα τῶν συμμίκτων ἀντισπαστικῶν, ἃ καὶ ἀνακρεόντεια καὶ γλυκώνεια, ὡς ἐκεῖ ἔφαμεν, λέγονται, ὧν ἡ ἀρχή ἐστι·

θηρῶν αἰθέριον σκέπας.

Trich. 389. 15 sqq. δίμετρον δὲ (*scil.* ἀντισπαστικόν) ἀκατάληκτόν ἐστιν οἷον, τό·

ἐν ὄρφναις μὲν ἀφεγγέσσι.

τοιαῦτα δέ εἰσιν ὅσον κατὰ τὸ δίμετρον ἀκατάληκτον καὶ τὰ ἰδίᾳ ἡμῖν τεθέντα εἰς παράδειγμα τῶν συμμίκτων ἀναπαίστων (?), ὀνομάζονται δὲ τὰ τοιαῦτα δίμετρα, ὡς καὶ ἀνωτέρω ἔφαμεν, γλυκώνειά τε καὶ ἀνακρεόντεια.

Caes. Bass. GL VI 258. 32 sqq. = fr. *6. 98 sqq. (GRF 136) Mazzarino tertia divisio (*scil.* hendecasyllabi phalaecii) est:

castae Pierides meae Camenae.

detracto enim ‘Camenae’ fit anacreonteon metrum syllabarum octo, quod musici bacchi<a>con (bacchicon *N*, bacchion *Parrh., corr. Santenius*) vocant, grammatici choriambicon.

Apthon. GL VI 149. 26 sqq. tertia autem divisio (*scil.* hendecasyllabi phalaecii) latius patet, cuius exemplum:

sulcos tunc retegunt comae fluentes,

item: (Ter. Maur. GL VI 401. 2571)

iamdudum tibi disserens probavi.

nam si retrahas ‘fluentes’, remanet:

sulcos tunc retegunt comae,

quod est metrum, ut grammatici <vocant>, choriambicum, ut musici, bacchiacum sive anacreontium syllabarum octo.

Apthon. GL VI 163. 3 sqq. tertia ode lyricorum asmatum: (Hor. *carm.* I 3. 1)

sic te diva potens Cypri.

hoc metrum glyconium, quod et anacreontion dicitur, detracta syllaba pherecratium, adiecta novissima enneasyllabon (hendecasyllabon *codd., correxi 1972, p. 38 sqq.*) sapphicon erit.

Apthon. GL VI 168. 4 sqq. tredecima ode libri primi: (Hor. *carm.* I 13. 1)

cum tu Lydia Telephi:

constat ex glyconio, quod et anacreontion dicitur, ut: (Hor. *carm.* I 3. 1)

sic te diva potens Cypri;

conficitur autem spondeo, choriambo et pariambo.

Apthon. GL VI 172. 1 sq. omnia autem apud Horatium tam carminum quam epodon metra erunt numero XXI … 6 sq. glyconia, quae et anacreontia, spondeus ‘sic te’, choriambus ‘diva potens’, pyrrichius ‘Cypri’.

Diom. GL I 509. 19 sqq. anacreontius in Horatio talis est: (*carm.* I 3. 1)

sic te diva potens Cypri.

praecisus hic est de proximo superiore hendecasyllabo (*scil.* phalaecio) et tale est quale illud:

sic te diva potens Cypri Lucrinos.

DIOM. GL I 512. 4 sqq. sic et trimetrum ex superiore parte hexametri tale:

Musae Pierides novem.

sed hoc idem anacreontion est, de quo supra diximus. nam simile est illud quod posueram exemplum: (Hor. *carm*. I 3. 1)

sic te diva potens Cypri.

ATIL. FORTVN. GL VI 297. 24 sqq. III: (Hor. *carm*. I 3. 1 sq.)

sic te diva potens Cypri,
sic fratres Helenae lucida sidera.

tertia ode dicolos est, habet primum octosyllabum anacreontium, quem et glyconium vocant, habet originem ab heroo, constat ex spondeo et duobus dactylis.

ATIL. FORTVN. GL VI 298. 1 sqq. anacreonteon est: (Anacr. 3 [PMG 348]. 1 Page)

γουνοῦμαί σ᾽ ἐλαφηβολέ.

usi sunt hoc genere metri Alcaeus, Sappho, Alcman.

ATIL. FORTVN. GL VI 299. 18 sqq. V: (Hor. *carm*. I 5. 1 sqq.)

quis multa gracilis te puer in rosa
perfusus liquidis urget odoribus
grato, Pyrra, sub antro?
cui flavam religas comam?

quinta ode habet duos primos asclepiadeos, tertium <pherecratium>, quartum anacreontium, qui et glyconius, de quibus iam diximus.

ANON. GL VI 176. 22 sq. igitur: (Hor. *carm*. I 3. 1)

sic te diva potens Cypri

est gliconium, quod quidam anacreontion dixerunt.

× × – ⏑ ⏑ – ⏑ – ⏑ – – ||

**20.** CAES. BASS. GL VI 260. 32 sqq. = fr. *6. 148 sqq. (GRF 138) Mazzarino nam et hendecasyllabus, quem phalaecium vocamus, apud antiquos auctores eodem modo solebat incipere alias a spondeo, alias ab iambo, alias a trochaeo, ut apud Catullum [hendecasyllabus] a spondeo: (2. 1)

passer deliciae meae puellae,

a trochaeo: (1. 2)

arido modo pumice expolitum,

ab iambo: (1. 4)

meas esse aliquid putare nugas.

quae omnia genera hendecasyllabi Catullus et Sappho et Anacreonta et alios auctores secutus non tamquam vitiosa vitavit, sed tamquam legitima inseruit.

× – – ⏑ ⏑ – – ⏑ ⏑ – – ||

**21.** APTHON. GL VI 88. 28 sq. trimetrum (*scil*. antispasticum) catalecticum anacreontium ita:

amor te meus o pulchra puella.

SERV. GL IV 463. 22 sq. anacreontium constat trimetro (*scil*. antispastico)

catalectico, ut est hoc:

curas mitificant dona Lyaei.

– – – ⏑ ⏑ – – – ⏑ ⏑ – – – ⏑ ⏑ – – – ||

**22.** Serv. GL IV 463. 26 sq. anacreontium constat tetrametro (*scil.* antispastico) catalectico, ut est hoc: (cf. Luc. *Phars*. VI 448)

infandum tetigit sidera carmen magicorum.

– ⏑ ⏑ – ⏑ ⏑ – – ||

**23.** Trich. 387. 13 sqq. περὶ τοῦ ἐπιμίκτου χοριαμβικοῦ. τοῦ δ᾽ ἐπιμιγνυμένου τοῖς ἰάμβοις, τοῦ μὲν εἰς ἀμφίβραχυν λήγοντος διμέτρου καταληκτικοῦ παράδειγμα τό·

εὐδιόωσα πόντον,

τοῦ δὲ εἰς βακχεῖον τό·

εὐδιόωσα πόντους·

ἀκαταλήκτου δὲ διμέτρου ἐπιμίκτου παράδειγμα·

ἠπιόωσα προσπόλῳ.

ταῦτα δὲ τὰ δύο εἴδη τοῦ ἐπιμίκτου διμέτρου Ἀνακρέων καὶ Ἀριστοφάνης ἐν τοῖς μάλιστα ἐπιτηδεύουσιν.

Diom. GL I 520. 21 sqq. octava ode dicolos metrum habet anacreonteum et alcaicum. scanditur vero sic, anacreonteum ex choriambo et bacchio, interdum et amphibracho: (Hor. *carm*. I 8. 1)

Lydia dic per omnes.

Atil. Fortvn. GL VI 300. 19 sqq. (Hor. *carm*. I 8. 1 sq.)

Lydia dic per omnis
te deos oro, Sybarin cur properas amando.

hoc totum choriambicum est metrum. primum colon dimetron catalecticum est. sed quo minus choriambicum esse videatur integrum, facit ultimus bacchius: nam similiter in secundo colo affectavit in ultimo bacchium habere … 301. 4 sq. apud Anacreontem: (fr. 36 [PMG 381] a Page)

εἶμι λαβὼν † εἰσάρας.

– ⏑ ⏑ – ⏑ – ⏑ – ||

**24.** Trich. 387. 13 sqq. περὶ τοῦ ἐπιμίκτου χοριαμβικοῦ. τοῦ δ᾽ ἐπιμιγνυμένου τοῖς ἰάμβοις, τοῦ μὲν εἰς ἀμφίβραχυν λήγοντος διμέτρου καταληκτικοῦ παράδειγμα τό·

εὐδιόωσα πόντον,

τοῦ δὲ εἰς βακχεῖον τό·

εὐδιόωσα πόντους·

ἀκαταλήκτου δὲ διμέτρου ἐπιμίκτου παράδειγμα

ἠπιόωσα προσπόλῳ.

ταῦτα δὲ τὰ δύο εἴδη τοῦ ἐπιμίκτου διμέτρου Ἀνακρέων καὶ Ἀριστοφάνης ἐν τοῖς μάλιστα ἐπιτηδεύουσιν.

– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – – ||

**25.** Hephaest. 29. 7 sqq. περαιοῦται μὲν (*scil.* τὸ χοριαμβικόν) γὰρ καὶ εἰς τὴν ἰδίαν, τὸν δάκτυλον ἢ κρητικόν, οἷον δίμετρον μὲν ... τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον· οἷον δίμετρα μὲν ... 30. 1 sqq. τρίμετρα δὲ οἷον τὸ Ἀνακρέοντος· (fr. 37 [PMG 382] Page)

δακρυόεσσάν τ᾿ ἐφίλησεν αἰχμάν.

Serv. GL IV 463. 8 sqq. anacreontium constat dimetro (*scil.* choriambico) et antibaccho, ut est hoc:

Vergilius Mantua quem creavit.

– ⏑ ⏑ – ⏑ – ⏑ – – ⏑ ⏑ – ||

**26.** Schol. vet. in Aristoph. *nub.* 563a (p. 127. 6 sqq. Holwerda) ὑψιμέδοντα μὲν θεὸν E] … ἡ <μελικὴ> περίοδος δέ ἐστι κώλων ιγʹ … τῶν ιγʹ τὰ μὲν τρία χοριαμβικὰ ἐπιμεμιγμένα ταῖς ἰαμβικαῖς δίμετρα, ἀκατάληκτα τὰ βʹ, τὸ δὲ γʹ καταληκτικὸν <κατὰ τὸ> ἰαμβικόν. τὸ δὲ δʹ ὅμοιον τοῖς πρώτοις χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τὸ εʹ χοριαμβικὸν καθαρόν, τὸ ϛʹ ἐπίμικτον τρίμετρον κατὰ μέσην ἔχον τὴν χοριαμβικήν· ERsNp τὰ δὲ γʹ ταῦτα συναγόμενα ποιεῖ δύο ὅμοια τοῖς Ἀνακρέοντος τριμέτροις· ἀντὶ τοῦ <βʹ> τετράμετρον καταληκτικόν ENp.

– – ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ||

**27.** Schol. in Aesch. *Prom.* 128a. 2 sqq. (p. 93 Herington) μηδὲν φοβηθῇς] ὁ ῥυθμὸς ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν. ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν, καὶ ἠράσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ. ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ᾿ ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τυροῖ βʹ (fr. 656 [TrGF IV 467] Radt). ἔστι δὲ ταῦτα ὅμοια τῷ· (Anacr. 67 [PMG 412] Page)

οὐδ᾿ αὖ μ᾿ ἐάσεις μεθύοντ᾿ οἴκαδ᾿ ἀπελθεῖν.

– ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – – ||

**28.** Atil. Fortvn. GL VI 300. 19 sqq. (Hor. *carm.* I 8. 1 sq.)

Lydia dic per omnis
te deos oro, Sybarin cur properas amando.

hoc totum choriambicum est metrum. primum colon dimetron catalecticum est. sed quo minus choriambicum esse videatur integrum, facit ultimus bacchius: nam similiter in secundo colo affectavit in ultimo bacchium habere … 301. 8 sq. secundum colon Anacreon sic: (fr. 36 [PMG 381] b Page)

ἀσπίδα ῥίψας ποταμοῦ καλλιρόου παρ᾿ ὄχθας.

⏑ ⏑ ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – – ||

**29.** Hephaest. 30. 6 sqq. Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν δι᾿ ὅλου ᾄσματος ἐκ τριβραχέος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς· (fr. 33 [PMG 378]. 1 Page)

ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις.

Epit. Hephaest. 360. 18 sqq. Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι· ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη κατὰ Λογγῖνον, μᾶλλον γὰρ τροχιαμβικὸν οὕτως καλεῖσθαι ὤφελειν, οἷον τό· (fr. 33 [PMG 378]. 1 Page)

ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγησσι κούφαις.

Sacerd. GL VI 536. 4 sqq. de tetrametro catalectico anacreontio choriambico. choriambicum anacreontium tetrametrum catalecticum fit primi choriambi soluta prima syllaba longa in duas breves, ut sit pes primus ex tribrachy et iambo vel ex pyrrichio et anapaesto, duobus mediis choriambis, quarto pede, id est novissimo, palimbacchio, ut:

atavus eras dulce decus praesidiumque gentis.

– ⏑ ⏑ – ⏑ – ⏑ – | – ⏑ – ⏑ – – ||

**30.** Hephaest. 54. 7 sqq. Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτω πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν· (fr. 42 [PMG 387] Page)

τὸν λυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.

– ⏑ ⏑ – ⏑ – ⏑ – | – ⏑ ⏑ – ⏑ – – ||

**31.** Hephaest. 30. 11 sqq. πολὺ δ᾽ ἐστὶ καὶ τὸ (*scil.* χοριαμβικὸν τετράμετρον ἐπίμικτον καταληκτικόν) πρὸς τῇ κατάκλειδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι· (fr. 40 [PMG 385] Page)

ἐκ ποταμοῦ ᾽πανέρχομαι πάντα φέρουσα λαμπρά.

Hephaest. 54. 11 sqq. τούτου δὲ (*scil.* τοῦ ἀνακρεοντείου ἀσυναρτήτου *dim. cho* | *ith.* ||) μεῖζόν ἐστι συλλαβῇ τῇ τελευταίᾳ τὸ καλούμενον κρατίνειον· ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου ... 19 sqq. τὸ μὲν οὖν καθαρὸν κρατίνειον τοιοῦτόν ἐστι· πολυσχημάτιστον δὲ αὐτὸ πεποιήκασιν οἱ κωμικοί ... Εὔπολις δὲ ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῆ μὲν γὰρ τοιαῦτα ποιεῖ· (fr. 42. 1 sq. [PCG V, p. 318] Kassel-Austin)

ἄνδρες ἑταῖροι, δεῦρ᾽ ἤδη τὴν γνώμην προσίσχετε,
εἰ δυνατόν, καὶ μή τι μεῖζον πράττουσα τυγχάνει,

πῆ δὲ τοιαῦτα· (fr. 42. 3 [PCG V, p. 318] Kassel-Austin)

καὶ ξυνεγιγνόμην ἀεὶ τοῖς ἀγαθοῖς φάγροισιν,

ὥσθ᾽ ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον ἀνακρεοντείῳ τῷδε· (fr. 41 [PMG 386] Page)

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ᾽ ἔχοντα καλήν,

πῆ δὲ καὶ ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι.

– ⏑ ⏑ – ⏑ ⏑ – | ⏑ – ⏑ – – ||

**32.** Hephaest. 50. 18 sqq. ἔνδοξόν ἐστι ἐπισύνθετον καὶ τὸ διπενθημιμερὲς τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν καὶ Ἀλκαῖος ... κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν· (fr. 48 [PMG 393] Page)

Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναιχμάν.

⏑ – ⏑ ⏑ – – – ⏑ – ⏑ ⏑ ⏑ ⏑ ⏑ – ||

**33.** Schol. vet. in Pind. *Nem*. 7 (p. 25. 10 sq. Tessier) τὸ ζ´ ἀνακρεόντειον ἐκ διπλοῦ πενθημιμεροῦς ἰαμβικοῦ καὶ συλλαβῆς, καταληκτικόν. [*G.M.*]